# Κυριακὴ Βαΐων

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ: Ἡ εἰς Ἱερουσαλὴμ εἴσοδος



*Ἱερὰ Εἰκὼν διὰ χειρὸς Θεοφάνους τοῦ Κρητὸς (1546) Ἱ.Μ. Σταυρονικήτα Ἄθωνος.*

**Ἀπολυτίκιον.** Ἦχος πλ. α΄.

**Τ**ὴν κοινὴν Ἀνάστασιν, πρὸ τοῦ Σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς ὡς οἱ παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, Σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

**Ἕτερον.** Ἦχος δ΄.

**Σ**υνταφέντες Σοι διὰ τοῦ Βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ Ἀναστάσει Σου, καὶ ἀνυμνοῦντες κράζομεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

**Ὑπακοή.** Ἦχος πλ. β΄.

**Μ**ετὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον, οἱ ἀγνώμονες Χριστόν, Ἰουδαῖοι τὸν Θεόν· ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ, ἀεὶ τιμῶντες ὡς εὐεργέτην, διὰ παντὸς βοήσωμεν Αὐτῷ· Εὐλογημὲνος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

**Κοντάκιον.** Ἦχος πλ. β΄. Αὐτόμελον.

**Τ**ῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς, ἐποχούμενος Χριστὲ ὁ Θεός, τῶν Ἀγγέλων τὴν αἴνεσιν, καὶ τῶν Παίδων ἀνύμνησιν προσεδέξω βοώντων Σοι· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

**Στίχοι.**

**Π**ώλῳ καθίσας ὁ λόγῳ τείνας πόλον.
**Β**ροτοὺς ἐκζητεῖ λῦσαι, τῆς ἀλογίας.

## Τῇ Κυριακῇ τῶν Βαΐων

*(Φιλιπ. δ΄ 4-9· Ἰωάν. ιβ΄ 1-18)*

**Κατὰ** τὴν ιη΄ τοῦ Μαρτίου, ἐν ἡμέρᾳ Κυριακῇ, πέντε ἡμέρας πρὸ τοῦ



*Τοιχογραφία (ΙΓ΄ αἰ.), Ἱ.Μ. Ἁγίου Ἰωάννου τοῦ Λαμπαδιστοῦ Καλαπαναγιώτη Κύπρου.*

Νομικοῦ Πάσχα, ἐρχόμενος ὁ Ἰησοῦς ἀπὸ τῆς Βηθανίας εἰς Ἱεροσόλυμα, ἀπέστειλε δύο τῶν Μαθητῶν Αὐτοῦ καὶ ἔφερον πρὸς Αὐτὸν ὀνάριον, καὶ καθίσας ἐπ᾽ αὐτοῦ εἰσήρχετο εἰς τὴν Πόλιν. Τὸ δὲν ἐν αὐτῇ πλῆθος τοῦ λαοῦ, ἀκούσαντες ὅτι ὁ Ἰησοῦς ἔρχεται, λαβόντες εὐθὺς εἰς τὰς χεῖρας αὐτῶν βαΐα τῶν φοινίκων, ἐξῆλθον εἰς ὑπάντησιν Αὐτοῦ· καὶ ἄλλοι μὲν διὰ τῶν ἑαυτῶν ἱματίων, ἄλλοι δὲ κόπτοντες κλάδους ἀπὸ τῶν δένδρων, ἐστρώννυον τὴν ὁδόν, δι᾽ ἧς ὁ Ἰησοῦς ἔμελλε διέρχεσθαι· καὶ πάντες ὁμοῦ, καὶ αὐτὰ ἔτι τὰ νήπια, προπορευόμενοι καὶ ἀκολουθοῦντες, ἔκραζον λέγοντες· *Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραὴλ* (Ἰωάν. ιβ΄ 13). Καὶ ταύτην μὲν τὴν λαμπρὰν καὶ ἔνδοξον πανήγυριν τῆς εἰς Ἱερουσαλὴμ εἰσόδου τοῦ Κυρίου ἡμῶν ἑορτάζομεν σήμερον.

Ἐσήμαινον δὲ τὰ μὲν βαΐα, τουτέστιν οἱ ἁπαλοὶ τῶν φοινίκων κλάδοι, τὴν κατὰ τοῦ διαβόλου καὶ τοῦ θανάτου νίκην τοῦ Χριστοῦ. Τὸ δὲ Ὡσαννὰ ἑρμηνεύεται «σῶσον παρακαλῶ», ἤ, «σῶσον δή». Τὸ δὲ πωλάριον τοῦ ὄνου, καὶ τὸ κάθισμα τοῦ Ἰησοῦ ἐπ᾽ αὐτοῦ, ζῴου ἀδαμάστου ἔτι καὶ κατὰ τὸν νόμον ἀκαθάρτου, ἐσήμαινε τὴν πρώτην ἀκαθαρσίαν καὶ ἀγριότητα τῶν ἐθνῶν, καὶ τὴν μετὰ ταῦτα ὑποταγὴν αὐτῶν εἰς τὸν Ἅγιον τοῦ Εὐαγγελίου Νόμον.

❖



*Μωσαϊκὸ (ΙΒ΄ αἰ.), Capella Palatina, Πάλερμο Σικελίας.*